Νεῖλος ἔπεμψεν· Σουσισκάνης,
Πηγαστάγων Αἰγυπτογενής,
ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων
μέγας Ἀρσάμης, τάς τ' ὠγυγίους
Θήβας ἐφέπων Ἀριόμαρδος,
καὶ ἑλειοβάται ναῶν ἐρέται
δεινοὶ πλῆθός τ' ἀνάριθμοι.
ἁβροδιαίτων δ' ἕπεται Λυδῶν
ὄχλος, οἵτ' ἐπίπαν ἠπειρογενὲς
κατέχουσιν ἔθνος,
τοὺς Μητρογαθὴς Ἀρκτεύς τ' ἀγαθός,
βασιλῆς δίοποι,
καὶ πολύχρυσοι Σάρδεις ἐπόχους
πολλοῖς ἅρμασιν ἐξορμῶσιν,
δίρρυμά τε καὶ τρίρρυμα τέλη,
φοβερὰν ὄψιν προσιδέσθαι.
στεῦται δ' ἱεροῦ Τμώλου πελάται
ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι,

35. ὑποχείριοι γὰρ ἦσαν τότε Περσῶν οἱ Αἰγύπτιοι. τινὲς διαιροῦσι Σουσισκάνης καὶ Πηγάς καὶ Ταγών. τὰ γὰρ ὀνόματα πέπλακε καὶ οὐκ ἔστιν Αἰγυπτιακά. 38. Αἰγυπτίους. 40. καὶ ἑλειοβάται: οἱ τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες. ἢ κοινῶς Αἰγύπτιοι· ἑλώδης γὰρ ἡ Αἴγυπτος. οἱ δέ, οἱ καὶ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων. 42. ἁβροδιαίτων δ' ἕπεται: ὄντως γὰρ τοιοῦτοι οἱ Λυδοί. καὶ τὸ παρ' Ἀνακρέοντι Λυδοπαθεῖς τινὲς ἀντὶ τοῦ ἡδυπαθεῖς. καὶ τὸ περιφερόμενον μήτε μοι Λυδῶν καρύκκας μήτε μαστίγων ψόφους. καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης τὴν τρυφὴν ταύτην (οἶμαι τὸν τρυφητὴν in margine) δηλοῖ. καὶ τὴν βάκκαριν δὲ ἔνιοι Λυδῶν μύρον ἔφασαν. 43. οἱ διόλου τὴν ἤπειρον οἰκοῦντες. 46. διόπται καὶ διέποντες ἡγεμόνες. 49. ἀντὶ τοῦ ἅρματα. ἀντὶ τοῦ τέθριππα καὶ ἑξάιππα τάγματα· ἐκ τούτου δὲ τὸ πλῆθος τῶν ἵππων δηλοῖ. 51. κλῦθι ἀλλαπολέμου (l. κλῦθ', Ἀλαλά, Πολέμου) θύγατερ, αἰθύεται (l. ᾇ θύεται) ἄνδρες ἐν διθυράμβῳ. οὕτως στεῦται ἑνικὸν ἀντὶ τοῦ πληθυντικοῦ. ἔνοικοι, γείτονες.

---

40. in margine adscripsit *m*. 47. *χαί* Blomfieldus. 51. *στεῦνται* M. 52. *δούλιον* Scaliger: *δούλειον* M.